


# ΙΕΡΑ ΑΚΟΛΟΥΘΙΑ
# ΤΟΥ ΑΓΙΟΥ ΕΥΜΕΝΙΟΥ ΤΟΥ ΝΕΟΥ

ΟΙΚΟΥΜΕΝΙΚΟΝ ΠΑΤΡΙΑΡΧΕΙΟΝ

# ΙΕΡΑ ΕΠΑΡΧΙΑΚΗ ΣΥΝΟΔΟΣ
# ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΚΡΗΤΗΣ

Ἀριθμ. Πρωτ. 624 Ἐν Ἡρακλείῳ, τῇ 8ῃ Ἰουλίου 2022

Πρός τόν Σεβασμιώτατον Μητροπολίτην
Γορτύνης καί Ἀρκαδίας
κύριον Μακάριον

Εἰς Μοῖρας.

Σεβασμιώτατε,

Εἰς ἀπάντησιν τοῦ ὑπ᾿ ἀριθμ. πρωτ. 666/359/Φ.20/18-4-2022 Ὑμετέρου Γράμματος, δι᾿ οὗ ὑπεβλήθησαν πρός ἔγκρισιν Ἀσματικήν Ἀκολουθίαν τοῦ Ὁσίου καί Θεοφόρου Πατρός ἡμῶν, Εὐμενίου τοῦ Νέου, καί Παρακλητικός Κανών ποιηθέντα ὑπό τοῦ Ἐντιμ. κ. Δημητρίου Δασκαλάκη, γνωρίζομεν εἰς Ὑμᾶς, ὅτι ὁμοφώνῳ Συνοδικῇ Ἀποφάσει, ληφθείσῃ κατά τήν Συνεδρίαν τῆς 27ης Ἰουνίου ἐ. ἔ., ἐγκρίνονται τά ἐν λόγῳ ὑμνογραφήματα ὡς καλῶς ἔχοντα, καθ᾿ ὅσον οὐδέν τό ἀπᾷδον πρός τε τά Δόγματα καί τάς Παραδόσεις τῆς καθ᾿ ἡμᾶς Ἁγιωτάτης Ὀρθοδόξου Ἐκκλησίας περιέχονται ἐν αὐτοῖς, παρακαλοῦμεν δέ, ὅπως ἅμα τῇ ἐκδόσει αὐτῶν ὑποβάλητε ἡμῖν πέντε (5) ἀντίτυπα διά τό Ἀρχεῖον τῆς Ἱερᾶς Ἐπαρχιακῆς ἡμῶν Συνόδου.

Ἐπί τούτοις, διατελοῦμεν,




Μετά φιλαδέλφων ἀσπασμῶν
καί πολλῆς ἐν Κυρίῳ ἀγάπης

Ὁ Πρόεδρος

† Ὁ Κρήτης Εὐγένιος

Τό παρόν ἔντυπο ἐκδίδεται ἀπό τό Ἐπίσημο Δελτίο τῆς Ἐκκλησίας Κρήτης «Ἀπόστολος Τίτος» καί διατίθεται δωρεάν.

# ΑΝΤΙ ΠΡΟΛΟΓΟΥ

Μέ τήν ἔγκριση καί τήν εὐλογία τῆς Ἱερᾶς Ἐπαρχιακῆς Συνόδου τῆς Ἐκκλησίας τῆς Κρήτης προβαίνουμε στήν ἔκδοση τῆς Ἱερᾶς Ἀκολουθίας καί τοῦ Παρακλητικοῦ Κανόνος τοῦ Ἁγίου Εὐμενίου, τοῦ Νέου, ἀπό τό χωριό Ἐθιά Ἀστερουσίων καί ἀδελφοῦ τῆς Ἱερᾶς Μονῆς Κουδουμᾶ, τῆς Ἱερᾶς Μητροπόλεώς μας, ὁ ὁποῖος διακόνησε τήν Ἐκκλησία στό Νοσοκομεῖο Λοιμωδῶν Ἀθηνῶν, γιά νά ψάλλεται κατά τήν ἑορτή τῆς Ἱερᾶς μνήμης του.

Ἡ ἑορτή αὐτή καθορίστηκε ἀπό τήν Ἐκκλησία, νά τελεῖται στίς 23 Μαΐου, ἡμέρα τῆς κοιμήσεως τοῦ Ἁγίου.

Τό Ἁγιολόγιο τῆς Ἐκκλησίας τῆς Κρήτης καί τῆς Ἱερᾶς Μητροπόλεώς μας, ἐμπλουτίζεται μέ ἕνα ἀκόμα Ἅγιο, τόν τρίτο Ἅγιο μέ τό ὄνομα Εὐμένιος. Πρῶτος εἶναι ὁ Ἅγιος Εὐμένιος Ἐπίσκοπος Γορτύνης, δεύτερος εἶναι ὁ Ἅγιος Εὐμένιος τῆς Ἱ. Μονῆς Κουδουμᾶ καί τρίτος ὁ Ἅγιος Εὐμένιος, ὁ Νέος, (Σαριδάκης).

Εὐχαριστοῦμε ἀπείρως τόν Τρισυπόστατο Θεό μας, πού μᾶς χάρισε τόν Νέο αὐτό Ἅγιο. Εὐχαριστοῦμε εὐσεβάστως τήν Ἱερά Σύνοδο πού ἐνέκρινε τήν ὡς ἄνω Ἱ. Ἀκολουθία καί τή Συνοδική Ἐπιτροπή ἐπί τῶν Ἱερῶν Ἀκολουθῶν. Εὐχαριστοῦμε πολύ τόν ποιητή της, κ. Δημήτριο Δασκαλάκη. Εὐχαριστοῦμε πολύ τό Περιοδικό τῆς Ἐκκλησίας Κρήτης «Ἀπόστολος Τίτος», πού χρηματοδότησε τήν ἔκδοσή της.

Παρακαλοῦμε εὐλαβῶς τόν Ἅγιο Εὐμένιο, τόν Νέο, νά δέεται πρός τόν Θεόν γιά τό εὐσεβές Πλήρωμα, τούς Κληρικούς καί τούς Μοναχούς τῆς Ἱερᾶς Μητροπόλεώς μας, ὥστε νά μένουμε ἑδραίει στήν ὀρθόδοξη πίστη μας καί στίς παραδόσεις τῶν πατέρων μας.

Ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν
† Ὁ Γορτύνης καί Ἀρκαδίας Μακάριος

Αὔγουστος τοῦ 2022

Ἐξώφυλλο: Ἱερά εἰκόνα τοῦ Ἁγίου Εὐμενίου, τοῦ Νέου, εὑρισκόμενη σέ προσκυνητάρι τῆς Ἐνορίας Ἐθιᾶς, ἔργο κ. Στεφάνου Ἀλπαντάκη.

# ΠΕΝΤΗΚΟΣΤΗ ΚΑΙ ΚΡΗΤΕΣ

**33 μ.Χ.**

**Συμμετοχή Κρητῶν, κατά τήν ἡμέρα τῆς Πεντηκοστῆς.**

**Πράξεις τῶν Ἀποστόλων, (2, 1-12).**

***«Καί ἐν τῷ συμπληροῦσθαι τὴν ἡμέραν τῆς πεντηκοστῆς ἦσαν ἅπαντες ὁμοθυμαδὸν ἐπὶ τὸ αὐτό. καὶ ἐγένετο ἄφνω ἐκ τοῦ οὐρανοῦ ἦχος ὥσπερ φερομένης πνοῆς βιαίας, καὶ ἐπλήρωσεν ὅλον τὸν οἶκον οὗ ἦσαν καθήμενοι· καὶ ὤφθησαν αὐτοῖς διαμεριζόμεναι γλῶσσαι ὡσεὶ πυρός, ἐκάθισέ τε ἐφ᾽ ἕνα ἕκαστον αὐτῶν, καὶ ἐπλήσθησαν ἅπαντες Πνεύματος Ἁγίου, καὶ ἤρξαντο λαλεῖν ἑτέραις γλώσσαις καθὼς τὸ Πνεῦμα ἐδίδου αὐτοῖς ἀποφθέγγεσθαι. Ἦσαν δὲ ἐν Ἱερουσαλὴμ κατοικοῦντες Ἰουδαῖοι, ἄνδρες εὐλαβεῖς ἀπὸ παντὸς ἔθνους τῶν ὑπὸ τὸν οὐρανόν· γενομένης δὲ τῆς φωνῆς ταύτης συνῆλθε τὸ πλῆθος καὶ συνεχύθη, ὅτι ἤκουον εἷς ἕκαστος τῇ ἰδίᾳ διαλέκτῳ λαλούντων αὐτῶν. ἐξίσταντο δὲ πάντες καὶ ἐθαύμαζον λέγοντες πρὸς ἀλλήλους· οὐκ ἰδοὺ πάντες οὗτοί εἰσιν οἱ λαλοῦντες Γαλιλαῖοι; καὶ πῶς ἡμεῖς ἀκούομεν ἕκαστος τῇ ἰδίᾳ διαλέκτῳ ἡμῶν ἐν ᾗ ἐγεννήθημεν, Πάρθοι καὶ Μῆδοι καὶ Ἐλαμῖται, καὶ οἱ κατοικοῦντες τὴν Μεσοποταμίαν, Ἰουδαίαν τε καὶ Καππαδοκίαν, Πόντον καὶ τὴν Ἀσίαν, Φρυγίαν τε καὶ Παμφυλίαν, Αἴγυπτον καὶ τὰ μέρη τῆς Λιβύης τῆς κατὰ Κυρήνην, καὶ οἱ ἐπιδημοῦντες Ῥωμαῖοι, Ἰουδαῖοί τε καὶ προσήλυτοι, Κρῆτες καὶ Ἄραβες, ἀκούομεν λαλούντων αὐτῶν ταῖς ἡμετέραις γλώσσαις τὰ μεγαλεῖα τοῦ Θεοῦ; ἐξίσταντο δὲ πάντες καὶ διηπόρουν, ἄλλος πρὸς ἄλλον λέγοντες· τί ἂν θέλοι τοῦτο εἶναι;...».***

**«Ὅταν ἔφθασε ἡ ἡμέρα τῆς Πεντηκοστῆς, ἦσαν ὅλοι μαζί συγκεντρωμένοι μέ ὁμοψυχία στό ἴδιο μέρος. Ξαφνικά ἦλθε ἀπό τόν οὐρανό μία βοή σάν νά φυσοῦσε δυνατός ἄνεμος, καί γέμισε ὅλο τό σπίτι ὅπου ἔμεναν. Ἐπίσης τούς παρουσιάσθηκαν γλῶσσες σάν φλόγες φωτιᾶς πού μοιράστηκαν καί κάθισαν ἀπό μία στόν καθένα ἀπ᾽ αὐτούς. Ὅλοι τότε πλημμύσισαν ἀπό Πνεῦμα Ἅγιο καί ἄρχισαν**

νά μιλοῦν σέ ἄλλες γλῶσσες, ἀνάλογα μέ τήν ἱκανότητα πού τούς ἔδινε τό Πνεῦμα. Στήν Ἱερουσαλήμ βρίσκονταν τότε εὐσεβεῖς Ἰουδαῖοι ἀπό ὅλα τά μέρη τοῦ κόσμου. Ὅταν ἀκούστηκε αὐτή ἡ βοή, συγκεντρώθηκε πλῆθος ἀπ᾽ αὐτούς καί ἦταν κατάπληκτοι, γιατί ὁ καθένας τους ἄκουγε τούς ἀποστόλους νά μιλᾶνε στή δική του γλῶσσα. Εἶχαν μείνει ὅλοι ἐκστατικοί καί μέ ἀπορία ἔλεγαν μεταξύ τους: "Μά αὐτοί ὅλοι πού μιλᾶνε δέν εἶναι Γαλιλαῖοι; Πῶς, λοιπόν, ἐμεῖς τούς ἀκούομε νά μιλᾶνε στή δική μας μητρική γλῶσσα; Πάρθοι, Μῆδοι καί Ἐλαμῖτες, κάτοικοι τῆς Μεσοποταμίας, τῆς Ἰουδαίας καί τῆς Καππαδοκίας, τοῦ Πόντου καί τῆς Ἀσίας, τῆς Φρυγίας καί τῆς Παμφυλίας, τῆς Αἰγύπτου, καί ἀπό τά μέρη τῆς λυβικῆς Κυρήνης, Ρωμαῖοι πού εἶναι ἐγκατεστημένοι ἐδῶ, Κρῆτες καί Ἄραβες, ὅλοι ἐμεῖς, εἴτε ἰουδαϊκῆς καταγωγῆς εἴτε προσήλυτοι, τούς ἀκοῦμε νά μιλοῦν στίς γλῶσσες μας γιά τά θαυμαστά ἔργα τοῦ Θεοῦ". Ὅλοι, λοιπόν, ἐκστατικοί κι ἀπορημένοι ἔλεγαν ὁ ἕνας στόν ἄλλο: "Τί νά σημαίνει ἄραγε αὐτό;...».



# ΚΑΛΟΙ ΛΙΜΕΝΕΣ



**Περί, τό 59 μ.Χ.**
**Προσόρμιση τοῦ πλοίου**
**μέ τόν Ἀπόστολο Παῦλο,**
**στούς Καλούς Λιμένες.**

**Καινή Διαθήκη, Πράξεις τῶν Ἀποστόλων, (27, 7-8).**

***«...μή προσεῶντος ἡμᾶς τοῦ ἀνέμου, ὑπεπλεύσαμεν τήν Κρήτην κατά Σαλμώνην, μόλις τε παραγενόμενοι αὐτήν ἤλθομεν εἰς τόπον τινά καλούμενον Καλούς Λιμένας, ᾧ ἐγγύς ἦν πόλις Λασαία...».***

**«...ἐπειδή δέν μᾶς ἐπέτρεπε ὁ ἄνεμος, πλεύσαμε ἀπό κάτω ἀπό τήν Κρήτη, ἀφοῦ περάσαμε τό ἀκρωτήριο Σαλμώνη, μέ πολύ δυσκολία, πλέοντας κοντά στίς ἀκτές της, φτάσαμε σέ ἕναν τόπο, πού λεγόταν Καλοί Λιμένες, κοντά στόν ὁποῖο ἦταν ἡ πόλη Λασαία...».**

# ΓΟΡΤΥΝΑ



**Περί, τό 63 μ.Χ.**
**Ἐγκατάσταση τοῦ Ἀποστόλου Τίτου.**

**Καινή Διαθήκη, πρός Τίτον Ἐπιστολή τοῦ Ἀπ. Παύλου, (1, 4-5).**

***«...Τίτῳ γνησίῳ τέκνῳ κατὰ κοινὴν πίστιν· χάρις, ἔλεος, εἰρήνη ἀπὸ Θεοῦ πατρὸς καὶ Κυρίου Ἰησοῦ Χριστοῦ τοῦ σωτῆρος ἡμῶν. Τούτου χάριν κατέλιπόν σε ἐν Κρήτῃ, ἵνα τά λείποντα ἐπιδιορθώσῃ, καί καταστήσῃς κατά πόλιν πρεσβυτέρους, ὡς ἐγώ σοι διεταξάμην...».***

**«...Πρός τόν Τίτο, γνήσιο τέκνο μου, χάρη στήν πίστη πού μᾶς ἑνώνει. Εὔχομαι ὁ Θεός Πατέρας καί ὁ σωτῆρας μας Ἰησοῦς Χριστός, νά σοῦ δίνουν τή χάρη, τό ἔλεος καί τήν εἰρήνη. Ὁ λόγος πού σέ ἄφησα στήν Κρήτη ἦταν νά συνεχίσεις νά διορθώνεις τίς ἐλλείψεις καί νά ἐγκαταστήσεις σέ κάθε πόλη πρεσβυτέρους, σύμφωνα μέ τίς ὁδηγίες πού σοῦ ἔδωσα...».**



*Γόρτυνα. Ἡ Βάση τῆς Ἁγ. Τράπεζας, τῆς Βασιλικῆς τῆς Μητρόπολης τῆς Γόρτυνας, στό χωριό Μητρόπολη Μεσαρᾶς, ὅπου καί ἡ Ἕδρα τῆς Ἀποστολικῆς Ἐκκλησίας τῆς Κρήτης, κατά τήν πρωτοβυζαντινή περίοδο, ἀπό τό Βιβλίο: «Gortina di Creta, 2010», τοῦ καθηγητῆ ἀρχαιολογίας A. Di Vita.*



*Γόρτυνα. Τό Σύνθρονο, τῆς Βασιλικῆς τῆς Γόρτυνας, στό χωριό Μητρόπολη Μεσαρᾶς, ὅπου καί ἡ Ἕδρα τῆς Ἐκκλησίας τῆς Κρήτης, κατά τήν πρωτοβυζαντινή περίοδο.*

# ΑΓΙΟΛΟΓΙΟ
# ΑΠΟΣΤΟΛΙΚΗΣ
# ΙΕΡΑΣ ΜΗΤΡΟΠΟΛΕΩΣ ΓΟΡΤΥΝΗΣ ΚΑΙ ΑΡΚΑΔΙΑΣ




## Ἰανουάριος

✽ 21 Ἰανουαρίου, **Μάξιμος, ὁ Ὁμολογητής.**

## Μάϊος

✽ 1η Κυριακή Μαΐου, **Σύναξις, Πάντων τῶν ἐν Γορτύνῃ καί Ἀρκαδίᾳ Ἁγίων.**

✽ 3η Κυριακή Μαΐου, **Ἀνάμνησις ἐπανακομιδῆς ἱ. λειψάνων, Κοσμᾶ Ἐρημίτου.**

✽ Κυριακή τῶν Μυροφόρων, **Γεώργιος Πρεσβύτερος καί οἱ σύν αὐτῷ 12 Νεομάρτυρες, Γέργερης.**

✽ 19 Μαΐου, **Ἰωάννης «Ἀρναουτογιάννης», ὁ ἐν Φαιστῷ, Νεομάρτυρας.**

✽ 23 Μαΐου, **Εὐμένιος, ὁ Νέος.**

✽ 26 Μαΐου, **Κάρπος, Ἀπόστολος.**

## Ἰούνιος

✽ 25 Ἰουνίου, **Μεθόδιος, ὁ ἐν Νυβρίτῳ.**

✽ 29 Ἰουνίου, **Παῦλος, Ἀπόστολος τῶν Ἐθνῶν.**

## Ἰούλιος

✽ 1η Κυριακή Ἰουλίου, **Σύναξις, Πάντων τῶν ἐν Κρήτῃ Ἁγίων.**

✽ 4 Ἰουλίου, **Ἀνδρέας, ὁ Κρήτης.**

✽ 9 Ἰουλίου, **Κύριλλος, Ἐπίσκοπος Γορτύνης.**

✽ 10 Ἰουλίου, **Παρθένιος καί Εὐμένιος οἱ ἐν τῇ Ἱ. Μονῇ Κουδουμᾷ.**

✽ 14 Ἰουλίου, **Πέτρος, Ἐπίσκοπος Γορτύνης.**

✽ 14 Ἰουλίου, **Ἀρσένιος, ὁ Ἁγιοφαραγγίτης.**

✽ Κυριακή μετά τή 13η Ἰουλίου, **Μαρτύριος, Ἐπίσκοπος Γορτύνης.**

✽ 25 Ἰουλίου, **Θεόδωρος, Ἐπίσκοπος Γορτύνης.**

## Αὔγουστος

✽ 8 Αὐγούστου, **Μύρων, Ἐπίσκοπος Γορτύνης.**

✽ Κυριακή μετά τή 15η Αὐγούστου, **Ἀπόστολος, Ζαχαρίας, Δημήτριος,**

**Μουλίων, Νεομάρτυρες.**
✽ 17 Αὐγούστου, **Εὐτύχιος, Εὐτυχιανός καί Κασσιανή, οἱ ἐν τῇ Ἱ. Μονῇ Ὁδηγητρίας.**
✽ 23 Αὐγούστου, **Χαράλαμπος, ὁ ἐν τῇ Ἱ. Μονῇ Καλυβιανῆς.**
✽ 25 Αὐγούστου, **Τίτος, Ἀπόστολος.**
✽ Κυριακή μετά τή 25η Αὐγούστου, **Σύναξις, Ἀπ. Παύλου καί Τίτου.**

## Σεπτέμβριος

✽ 9 Σεπτεμβρίου, **Ἰκόνιος, Ἐπίσκοπος Γορτύνης.**
✽ 16 Σεπτεμβρίου, **Βασίλειος, Ἐπίσκοπος Γορτύνης.**
✽ 18 Σεπτεμβρίου, **Εὐμένιος, Ἐπίσκοπος Γορτύνης.**
✽ 20 Σεπτεμβρίου, **Ἰωάννης ὁ Ξένος, ἐκ Σίβα Μεσαρᾶς.**
✽ 27 Σεπτεμβρίου, **Ἀρίσταρχος, Ἀπόστολος.**
✽ 28 Σεπτεμβρίου, **Ὁσιομάρτυρες καί Ὅσιοι, οἱ ἐν τῇ Ἱ. Μονῇ Καλυβιανῆς.**

## Ὀκτώβριος

✽ 1η Κυριακή Ὀκτωβρίου, **Παῦλος, Ἐπίσκοπος Γορτύνης.**
✽ 8 Ὀκτωβρίου, **Φίλιππος, Ἐπίσκοπος Γορτύνης.**
✽ μετά τῶν Πατέρων τῆς Ζ΄ Οἰκουμενικῆς Συνόδου, **Ἠλίας, Ἐπίσκοπος Γορτύνης.**
✽ μετά τῶν Πατέρων τῆς Ζ΄ Οἰκουμενικῆς Συνόδου, **Ἰωάννης, Ἐπίσκοπος Ἀρκαδίας.**
✽ 1η Κυριακή μετά τή μνήμη τῶν Πατέρων τῆς Ζ΄ Οἰκουμενικῆς Συνόδου, **Κρῆτες Πατέρες, τῶν Οἰκουμενικῶν Συνόδων.**
✽ 13 Ὀκτωβρίου, **Μελέτιος Πηγᾶς, Πατριάρχης Ἀλεξανδρείας.**
✽ 18 Ὀκτωβρίου, **Λουκᾶς, Εὐαγγελιστής.**
✽ 18 Ὀκτωβρίου, **Ἰσίδωρος, Γεώργιος, Εἰρήνη, οἱ ἐν Βαλῇ Μεσαρᾶς.**
✽ 30 Ὀκτωβρίου, **Ἀρτεμᾶς, Ἀπόστολος.**

## Νοέμβριος

✽ 26 Νοεμβρίου, **Νίκων, ὁ «Μετανοεῖτε».**
✽ 27 Νοεμβρίου, **Γρηγόριος Σιναΐτης, Γεράσιμος Εὐβοεύς.**

## Δεκέμβριος

✽ 8 Δεκεμβρίου, **Ἀπολλώ, Ἀπόστολος.**
✽ 23 Δεκεμβρίου, **Δέκα Μάρτυρες, οἱ ἐν Γορτύνῃ.**


ΕΥΜΕΝΙΟΣ
Ο ΝΕΟΣ

# ΑΚΟΛΟΥΘΙΑ
# ΤΟΥ ΑΓΙΟΥ ΕΥΜΕΝΙΟΥ
# ΤΟΥ ΝΕΟΥ

## ΤΟΥ ΕΚ ΚΩΜΗΣ ΕΘΙΑΣ ΑΣΤΕΡΟΥΣΙΩΝ ΤΗΣ ΙΕΡΑΣ ΜΗΤΡΟΠΟΛΕΩΣ ΓΟΡΤΥΝΗΣ ΚΑΙ ΑΡΚΑΔΙΑΣ ΤΟΥ ΖΗΣΑΝΤΟΣ ΕΝ Τῼ ΝΟΣΟΚΟΜΕΙῼ ΛΟΙΜΩΔΩΝ ΑΘΗΝΩΝ

**Ψαλλομένη τῇ 23η Μαΐου**

**ποιηθεῖσα ὑπό τοῦ Ἀναγνώστου,**
**κ. Δημητρίου Δασκαλάκη,**
**Ἱεροψάλτου, Φιλολόγου, Συγγραφέως.**

## ΕΙΣ ΤΟΝ ΜΙΚΡΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ἱστῶμεν στίχους δ´ καὶ ψάλλομεν τὰ ἀκόλουθα, στιχηρὰ προσόμοια.

Ἦχος α´.
Τῶν οὐρανίων ταγμάτων.

Ἐκ παιδικῆς ἡλικίας ἀφιερώθης Θεῷ, τῆς Θεοτόκου κλήσει ἐμφανῶς σοι ὀφθείσης, ὅτε τὰς κανδήλας ναοῦ τοῦ αὐτῆς εὐλαβῶς σὺ προσήναπτες˙ ὅθεν, Εὐμένιε, πόθῳ τῷ θεϊκῷ σὴν καρδίαν ἀνεπτέρωσας.

Τῶν μοναζόντων τὸν βίον, Πάτερ, προείλου σαφῶς, ἐκ βρέφους τὴν νηστείαν ἀκριβῶς συντηρήσας˙ παίδων δὲ ἀνύων τὴν

βιοτὴν κατηυγάσθης τὰ ὄμματα φωτί τῷ θείῳ καί εἵλου ὡς ἀληθῶς πολιτείαν τὴν ἰσάγγελον.

Ἐν ἐφηβείᾳ σου, Πάτερ, τάχος προσέδραμες, ἐν Ἁγίῳ Νικήτᾳ μοναστῶν τῇ χορείᾳ, πρόθυμος ἀγῶνας ἀσκητικοὺς ἐκ ψυχῆς προελόμενος, τὴν σὴν καρδίαν, Εὐμένιε, τῷ Θεῷ ἀνατείνας πόθῳ ζέοντι.

Ἐν ταπεινώσει βαθείᾳ ὑπακοῇ τε τρανῇ, θεμέλια σοῦ βίου ἔσχες, Πάτερ, ἀόκνως, κόποις δὲ ἀμέτροις καὶ προσευχῇ, ἀγρυπνίᾳ ἀγῶσί τε ἀσκητικοῖς ἐκλαμπρύνας τὴν σὴν ψυχήν, ὦ Εὐμένιε, διέλαμψας.

### Δόξα. Ἦχος β΄.

Ὅλον σαυτόν, Εὐμένιε πάτερ, τῷ Θεῷ προσενήνοχας, ἔξω κόσμου γενόμενος, ὢν ἐν τῷ κόσμῳ, καί τοῖς ἀσθενοῦσιν ἀδελφοῖς ἡμῶν ἀόκνως ὑπηρετῶν καὶ διακονῶν καὶ τοῖς σοί προστρέχουσι τὰ αἰτήματα παρέχων· διὸ μὴ παύσῃ δεόμενος καὶ ὑπὲρ ἡμῶν πρὸς Κύριον τοῦ εὑρεῖν τὸ θεῖον ἔλεος.

### Καὶ νῦν. Θεοτοκίον.
### Ἦχος ὁ αὐτός.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς σὲ ἀνατίθημι· Μήτηρ τῆς ζωῆς, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

### Εἰς τὸν στίχον, στιχηρὰ προσόμοια.
### Ἦχος β΄. Οἶκος τοῦ Εὐφραθᾶ.

Ἔλαμψας ἐν καιροῖς, ὦ Πάτερ, τοῖς ἐσχάτοις, τρανῶν Θεοῦ τὴν δόξαν, Εὐμένιε Θεόφρον, τοῖς πίστει σοι προστρέχουσι.

Στίχ. Μακάριος ἀνήρ, ὁ φοβούμενος τὸν Κύριον.

Σπεῦσον νῦν πρὸς ἡμᾶς σοῦ δεομένους, Πάτερ, βοήθειαν παρέχων, καὶ πάντας ἐκ κινδύνων καὶ νόσων ἐλευθέρωσον.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Ἔζησας ἐν κρυπτῷ, τὴν δόξαν ἀποφεύγων, τὴν τῶν ἀνθρώπων πάνυ, Εὐμένιε, Κυρίῳ ἀείποτε εὐχόμενος.

### Δόξα.

Δέησιν ἐκτενῶς προσάγαγε Τριάδι, θεόφρον, τῇ Ἁγίᾳ, ἡμῶν τε μνημονεύων τῶν πίστει ἀνυμνούντων σε.

### Καί νῦν.

Δύναμιν ἐκτενῶς ἐλάμβανες, ὦ Πάτερ, παρὰ τῆς Θεοτόκου, ἥτις ἐν σοῖς ἀγῶσιν ἐσκέπαζε φυλάττουσα.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΜΕΓΑΛΟΝ ΕΣΠΕΡΙΝΟΝ

Μετὰ τὸν Προοιμιακὸν, τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος δ΄.
Ὡς γενναῖον ἐν μάρτυσι.

Μοναζόντων ἐκσφράγισμα, ἀσκουμένων τε πρότυπον, ἀνεδείχθης ὄντως, πάτερ Εὐμένιε, ὅτι ἀόκνως διέδραμες τὸ στάδιον ἄθλοις σου τῆς ἀσκήσεως τρανῶς καὶ ἐδέξω τὸν στέφανον, τὸν τῆς νίκης σου, ἐκ Θεοῦ ὡς ἀμέπτως βιοτεύων αὐγαζόμενος τῷ φέγγει τῆς ἀϊδίου λαμπρότητος.

Μοναστὴς ἐκ νεότητος γεγονώς, Πάτερ Ὅσιε, ἐν τρισὶ τοῖς ἔτεσι ζῶν ὡς δόκιμος, ὑπωπιάζων τὸ σῶμά σου, ἐχθροῦ τὰ σοφίσματα τοῦ δολίου καθαιρεῖς, ὡς λαβὼν χάριν ἄφθονον˙ ὅθεν πρέσβευε ἐκ παθῶν πολυτρόπων φυλαχθῆναι, τοὺς ἐκ πόθου σε ὑμνοῦντας, σημειοφόρε Εὐμένιε.

Βοηθὸν καὶ συλλήπτριαν ἔσχες, Πάτερ, ἐν βίῳ σου τὴν Παρθένον πάντοτε σὲ στηρίζουσαν˙ ὁ γάρ ἐχθρὸς ὁ παμπόνηρος σὲ πλήξας εἰς πρόσωπον ἐδοκίμασε δεινῶς βασανίζων σε, ἔνδοξε˙ ἀλλ᾽ ἀπήλλαξαι, ὦ Εὐμένιε θεῖε, ἐκ τῆς τούτου φοβερᾶς δοκιμασίας τῆς Θεοτόκου τῇ χάριτι.

Καὶ στρατείαν ἐπίκηρον ὑπελθών, Πάτερ Ὅσιε, ἠγωνίσω ὅλαις σου ταῖς δυνάμεσι˙ καὶ γὰρ τὸν δόλιον ᾔσχυνας καὶ νόσον ἐβάστασας τὴν σὲ πλήξασαν δεινῶς, ὑπομένων ἀγόγγυστα˙ ὅθεν πρέσβευε ἐκ πολλῶν νοσημάτων φυλαχθῆναι τοὺς σὲ ἐπικαλουμένους, Ὁσίων κλέος Εὐμένιε.

Ὑπηρέτησας, Ὅσιε, τοῖς λεπροῖς τε καὶ πάσχουσι, ἀνενδότῳ ζήλῳ σου πυρπολούμενος, ὅτι νοσοῦσι συ δέδωκας βοήθειαν ἄμετρον καὶ ἀγάπην τὴν Χριστοῦ καὶ αὐτοῖς διηκόνησας˙ ὅθεν, Ἅγιε, καὶ τὸ στέφος ἐδέξω τὸ τῆς νίκης καὶ φυλάττεις τοὺς τιμῶντας, σέ, θεοφόρε Εὐμένιε.

Τῶν Ὁσίων ὁμόσκηνων ἱερέων τε πρότυπον, τῶν πιστῶν δοξάζει σε ἡ ὁμήγυρις, ὅτι σὸν βίον

διέδραμες ἐν πίστει ἀγάπῃ τε καὶ ἐλπίδι εἰς Θεόν, ἐκτελῶν τὸν ἀγῶνα σου˙ διό, ἔνδοξε, τοὺς πιστῶς σὲ τιμῶντας καὶ ὑμνοῦντας διατήρησον ἀτρώτους ταῖς σαῖς πρεσβείαις, Εὐμένιε.

Δόξα.
Ἦχος πλ. β΄.

Τὸν ἐπ᾽ ἐσχάτων τῶν χρόνων τρανῶς διαλάμψαντα παμφαῆ ἀστέρα ἐν τῷ τῆς Ἐκκλησίας τοῦ Χριστοῦ στερεώματι, Εὐμένιον τὸν θεῖον, ἐν ὕμνοις καί ᾠδαῖς πνευματικαῖς καταστέψωμεν. Οὗτος γὰρ ἐν κρυπτῷ καὶ ταπεινώσει διάγων τὸν βίον αὐτοῦ, τοῖς πάσχουσι καὶ ἀσθενοῦσιν ἀδελφοῖς ἡμῶν διηνεκῶς ἐν προθυμίᾳ διηκόνει˙ καὶ ψυχὰς πολλῶν κλονουμένων ἐν τοῖς τοῦ βίου δεινοῖς τρανῶς ἐπεστήριξε. Διὸ πρὸς αὐτὸν ἐν κατανύξει βοῶμεν˙ μὴ ἐπιλάθῃ καί ἡμῶν τῶν ἀναξίων, Ὅσιε, ἐν ταῖς πρὸς τόν Κύριον πρεσβείαις σου.

Καὶ νῦν. Τῆς Ἑορτῆς.

Εἴσοδος. Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Σοφίας Σολομῶντος
τὸ Ἀνάγνωσμα (κεφ. 3΄ 1-9)

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα, οἱ δὲ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν, αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τούς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτὸν συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος
τὸ Ἀνάγνωσμα (κεφ. ε΄ 15-23 καί στ΄ 1-3)

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου, ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτοὺς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν· ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον· λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν, συνεκπολεμήσει δὲ αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς. Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς καὶ σύνετε· μάθετε, δικασταὶ περάτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

## Σοφίας Σολομῶντος
## τὸ Ἀνάγνωσμα (κεφ. 4, 7-15)

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δὲ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίω ἡ ψυχὴ αὐτοῦ, διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## Εἰς τήν Λιτήν
## Ἰδιόμελα

## Ἦχος α΄.

Τὸν Ἱερέα τοῦ Θεοῦ καὶ μοναζόντων τὸ κλέος, τὸν ἐν πρωτευούσῃ τῆς Ἑλλάδος βιώσαντα καὶ φίλον καὶ τέκνον πνευματικόν Ὁσίου Νικηφόρου τοῦ λεπροῦ γενόμενον, συνελθόντες σήμερον, φιλόσιοι, ἐν ᾠδαῖς ἀσμάτων ἐκ καρδίας τιμήσωμεν, τὸν θεόκλητον Εὐμένιον˙ οὗτος γὰρ τὸν τοῦ Κυρίου Σταυρόν ἐπ᾽ ὤμων ἀράμενος ἐν τῇ τοῦ Ἁγίου Νικήτα Μονῇ, ἠκολούθησεν Αὐτῷ ἀπεριτρέπτῳ καρδίᾳ καὶ λογισμῷ θεόφρονι καὶ πᾶσι τοῖς νοσοῦσι καὶ τρυχομένοις ἀδελφοῖς διηκόνει καὶ ἐβοήθει, ἐπιστηρίζων τὰς καρδίας αὐτῶν˙ αὐτὸν οὖν τιμῶντες σήμερον βοήσωμεν, Ὁσιώτατε Πάτερ, μὴ ἐπιλάθῃ καὶ ἡμῶν τῶν ὑμνούντων σε ἐν ταῖς πρός Κύριον πρεσβείαις σου.

## Ἦχος β΄.

Ἐξ ἁπαλῶν ὀνύχων ἠκολούθησας τῷ καλοῦντι σε Χριστῷ, Ὅσιε Πάτερ Εὐμένιε, καὶ τῇ μητρί Αὐτοῦ, τῇ Θεοτόκῳ, ὑπείκων καὶ ταύτην τιμῶν ὅλῃ σου ψυχῇ καὶ καρδίᾳ καὶ ἰσχύι, τῇ ἐμφανῶς βοηθησάσῃ σοι ἐν τῇ Μονῇ τοῦ Κουδουμᾶ, ἀνελήλυθας τὸν ἀνάντη δρόμου τῆς ἀσκήσεως καὶ τῆς ἀρετῆς, μὴ στραφείς εἰς τὰ ὀπίσω. Ὅθεν προθύμως τοῖς πάσχουσιν ἐβοήθεις καὶ διηκόνεις ζῶν ἐν τῷ Λοιμωδῶν, καὶ τοὺς σοὶ προστρέχοντας ἐπεστήριζες καὶ τούτους παρεκάλεις ἔργοις τε καὶ λόγοις καὶ ταῖς θεοπειθέσι σου εὐχαῖς˙ διὸ καὶ ἡμεῖς σήμερον τιμῶντες σε βοῶμεν, βοήθει ἡμῖν τοῖς σέ, Πάτερ, ὑμνοῦσι καὶ γεραίρουσι.

## Ἦχος γ΄.

Ἐν ἐκκλησίαις, Ὁσιώτατε Πάτερ Εὐμένιε, ηὐλόγεις τὸν Κύριον, ἀνυμνῶν αὐτὸν καὶ δοξάζων καὶ παρ᾽ Αὐτοῦ αἰτούμενος τὰ πρός σωτηρίαν τῶν πιστῶν αἰτήματα ἐκπληρῶσαι ἅπαντα. Ὅθεν καὶ ἡμεῖς οἱ ἀνάξιοι, σήμερον ἐν τῇ ἐνδόξῳ μνήμῃ σου, σοῦ δεόμεθα κραυγάζοντες˙ πρόστηθι τοῖς ἀσθενοῦσι, βοήθησον τοῖς ποικίλως χειμαζομένοις, ἐνίσχυσον τοὺς πολυτρόπως πειραζομένους, ταῖς σαῖς θεοπειθέσει πρεσβείαις πρὸς τὸν ἐλεήμονα Κύριον.

## Ἦχος δ΄.

Ἄξιος λειτουργός καὶ θύτης θεάρεστος γενόμενος, Πάτερ Ὅσιε, ἐλειτούργεις τῷ Θεῷ, χάριτι θείᾳ περιβαλλόμενος καὶ ἐν τῷ ἀέρι ἐβάδιζες τελῶν τὸ

μυστήριον. Διὸ σοι σήμερον οἱ ἐπιτελοῦντες τὴν Ἁγίαν μνήμην σου ταπεινῷ φρονήματι καὶ καρδίᾳ συντετριμμένῃ σοὶ βοῶμεν, ἀξιάγαστε˙ πάρεσο μέσον ἡμῶν ἀοράτως καὶ βοήθησον ἡμῖν τοῖς ἀναξίοις καί ὁδήγησον ἡμᾶς εἰς λιμένα θείου θελήματος, αἰτούμενος λαβεῖν ἡμᾶς παρὰ Κυρίου τὸ μέγα καὶ πλούσιον ἔλεος.

Δόξα.

Ἦχος πλ. α΄.

Ὅλος συγκραθείς τῇ θείᾳ ἀγαπήσει καὶ ἄνω τὸ πολίτευμα ἔχων, ἐβοήθεις τοῖς πάσχουσι, τοῖς ἡμαρτηκόσι, τοῖς ἐν ἀνάγκαις πλείσταις οὖσι καὶ σοὶ ἐξομολογουμένοις, Ὅσιε Πάτερ Εὐμένιε, Ἀστερουσίων ὀρέων τὸ κλέος. Ἀλλὰ καὶ τὴν τοῦ Κυρίου ἀγάπην ἔχων ἐν σεαυτῷ, ταύτην ἀνεπιφθόνως ἐχορήγεις τοῖς αἰτοῦσι καὶ δεομένοις ἀδελφοῖς, δεχόμενους τούτους ἐν παντὶ καιρῷ καὶ πάσῃ ὥρᾳ˙ προσηύχου δὲ ὑπὲρ τῆς σωτηρίας πάντων τῶν ἀνθρώπων ἐν ἀγάπῃ πολλῇ καὶ πίστει πρὸς τὸν Κύριον˙ μνήσθητι οὖν καὶ τῶν σήμερον ἐπικαλουμένων σε, βοηθῶν αὐτοῖς, ταῖς θεοπειθέσι πρεσβείαις σου.

Καὶ νῦν. Τῆς Ἑορτῆς.

Εἰς τὸν στίχον, Στιχηρὰ Προσόμοια.

Ἦχος πλ. α΄.

Χαίροις, ἀσκητικῶν.

Χαίροις τῶν ἀσθενῶν ἰατὴρ καὶ τῶν πασχόντων ὀξυτάτη ἀντίληψις, ἀγάπῃ πολλῇ καί ζήλῳ τοῖς πρῴην οὖσι λεπροῖς ὁλοψύχως, Πάτερ, διηκόνησας˙ σαυτὸν ἀπηρνήσω δὲ καὶ πασχόντων ἀντίληψις ὅλος ἐγένου καὶ ψυχὰς ἐπεστήριξας καὶ ἐνίσχυσας τοῖς ἀγῶσι καὶ κόποις σου. Ὅθεν σε ἱκετεύομεν, τιμῶντες τήν μνήμην σου, ῥῦσαι ἡμᾶς ἐκ κινδύνων καὶ πειρασμῶν καὶ κακώσεων, Εὐμένιε πάτερ, παρεχόμενος εἰρήνην πιστοῖς ἱκέταις σου.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Χάριν ἐκ τοῦ Θεοῦ εἰληφώς ἱερωσύνης ὑπεδέξω τὸ χάρισμα, Σταυρὸν τοῦ Χριστοῦ βαστάζων σὺ ἐλειτούργεις Θεῷ ἐκ ψυχῆς σου, Πάτερ, καὶ ἐν δάκρυσι˙ πολλούς καθωδήγησας καὶ εὐχαῖς σου ἐστήριξας, σοὶ προσιόντας καὶ αἰτοῦντας τὴν ἄφεσιν, ὧν διήμαρτον, τῷ σῷ λόγῳ καὶ χάριτι˙ πάντες οὖν δυσωποῦμεν σε, τὴν

μνήμην σου, Ἅγιε, πόθῳ καρδίας τελοῦντες, τὴν σὴν βοήθειαν δώρησαι, ἡμῖν τοῖς ἀθλίοις καὶ τιμῶσί σε ἐκ βάθους ψυχῆς, Εὐμένιε.

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον, ἐν ταῖς ἐντολαῖς Αὐτοῦ θελήσει σφόδρα.

Ὅλος ἀφιερώθης Θεῷ καὶ ὅλος σκεῦος ἀπεφάνθης τοῦ Πνεύματος˙ οὐκ ἔζης σαυτῷ γάρ, Πάτερ, ἀλλά Χριστῷ τῷ Θεῷ ὅλον σου τὸν βίον ἀνατέθεικας˙ τοῖς πάσχουσι γέγονας ἀληθῶς καταφύγιον καὶ ταῖς εὐχαῖς σου τούτους ὄντως ἐστήριξας καὶ ἀνήγαγες ἐκ τοῦ λάκκου τῶν θλίψεων˙ πόθῳ νῦν εὐφημοῦμέν σε, τιμῶντες τὴν μνήμην σου, χάριν τὴν σὴν ἐξαιτοῦντες καὶ ὀξυτάτην βοήθειαν, Εὐμένιε πάτερ, τῶν πιστῶν γάρ εἶ προστάτης σὺ ἀκαταίσχυντος.

Δόξα.
Ἦχος πλ. δ΄.

Τῶν φιλοσίων οἱ δῆμοι σήμερον ἐκ πόθου συνελθόντες, εὐφημοῦσι τὴν μνήμην σου, Ὅσιε πάτερ Εὐμένιε˙ σὺ γάρ ἀεί τοῖς πάσχουσι βοηθεῖς καὶ ἐνισχύεις ἐν τοῖς τοῦ βίου δεινοῖς καὶ πειρασμοῖς˙ ὅθεν ἐκ ψυχῆς σήμερον συνελθόντες δοξάζουσί σε ἐκ ψυχῆς, εὐχαριστοῦντες σοι θερμῶς τῷ τρανῶς τούτοις ἀρήγοντι, αἰτούμενοι ταπεινῶς τὴν σὴν σκέπην καὶ προστασίαν, Ὅσιε, ἐν ταῖς ποικίλαις θλίψεσι καὶ ἀδοκήτοις περιστάσεσι.

Καὶ νῦν. Τῆς Ἑορτῆς.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον
καὶ τὸ Ἀπολυτίκιον.
Ἦχος γ΄.
Θείας πίστεως.

Θείων γέγονας σὺ μυστηρίων μύστης, ἔνδοξε, τῇ βιοτῇ σου καὶ ἱερεὺς τοῦ Θεοῦ ἀναδέδειξαι˙ τῶν μοναστῶν γὰρ τὸν βίον ἑλόμενος μετ᾽ ἀκριβείας ἐν πόλει ἐβίωσας˙ ὅθεν Κύριον, Εὐμένιε, καθικέτευε παρέχειν ἡμῖν πᾶσι τὰ αἰτήματα.

Θεοτοκίον.

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν, ἀνυμνοῦμεν, Θεοτόκε Παρθένε˙ ἐν τῇ σαρκί γάρ τῇ ἐκ σοῦ προσληφθείσῃ, ὁ Υἱός σου καὶ Θεὸς ἡμῶν, τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς, ἐκ φθορᾶς ὡς φιλάνθρωπος.

Ἀπόλυσις.

# ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α´ Στιχολογίαν, Κάθισμα.

Ἦχος α´.
Τὸν τάφον Σου, Σωτήρ.

Ἀγάπην ἐν χαρᾷ σὺ ἐκέκτησο, Πάτερ, καὶ πάντας ἐν πολλῇ προθυμίᾳ ἐδέχου, τοὺς πίστει σοι προστρέχοντας καὶ αἰτοῦντας βοήθειαν˙ ὅθεν ἅπασι περιχαρῶς ἐβοήθεις, παρεχόμενος ἑνὶ ἑκάστῳ σὴν χάριν, θεόφρον Εὐμένιε.

Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς.

Μετὰ τὴν β´ Στιχολογίαν, Κάθισμα.

Ἦχος δ´.
Ταχὺ προκατάλαβε.

Τὰ πάθη τοῦ σώματος τῶν προσιόντων εἰς σέ, ἰάτρευες, Ὅσιε, ἐν διακρίσει πολλῇ καὶ πίστει πρὸς Κύριον˙ ἔβλεπες δὲ εἰς ἄνω κάτω τε καὶ ὀπίσω, ἔμπροσθεν τε ἑώρας κατευθύνων δεόντως, τοὺς σπεύδοντας τῇ σῇ σκέπῃ, πάτερ Εὐμένιε.

Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς.

Μετά τόν Πολυέλεον, Κάθισμα.

Ἦχος δ´.
Κατεπλάγη Ἰωσήφ.

Κατῃσχύνθη ἀληθῶς ὁ δυσμενέστατος ἐχθρός, σοί, ὦ πάτερ, προσβαλὼν ἐρηρεισμένῳ εἰς Χριστὸν καὶ τῇ ἀμάχῳ φροντίδι τῆς Θεοτόκου˙ ὅθεν ἀληθῶς σὺ διέλαμψας, φῶς τὸ τοῦ Χριστοῦ ἔχων ἔνδον σου˙ καὶ ἀναβὰς εἰς ὕψος, ταπεινόφρον, ταῖς ἀρεταῖς σου ἐξήστραψας˙ Χριστὸν δυσώπει νῦν ὑπὲρ πάντων, θεοφόρε Εὐμένιε.

Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς.

Οἱ ἀναβαθμοί, ἤτοι τὸ α´ Ἀντίφωνον τῶν Ἀναβαθμῶν τοῦ δ´ ἤχου καὶ τὸ προκείμενον.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.

Στίχ. Μακάριος ἀνήρ, ὁ φοβούμενος τὸν Κύριον.

Εὐαγγέλιον Ὁσιακόν˙ ζήτει τῇ ιζ´ Ἰανουαρίου.

Ὁ Ν´.

Δόξα.

Ταῖς τοῦ σοῦ Ὁσίου...

Καὶ νῦν.

Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον.

Ἦχος πλ. β΄.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου...

Ἔχαιρες ἐν Κυρίῳ πάντοτε, Ὅσιε πάτερ Εὐμένιε, μεταδιδοὺς καὶ τοῖς προσερχομένοις σοι ἀδελφοῖς τὴν χαρὰν τοῦ Χριστοῦ, λύων αὐτοὺς ἐκ ποικίλων παθῶν καὶ νόσων καὶ διδάσκων ἐν ἁπλότητι τὰ ἄνω ποθεῖν καί ζητεῖν˙ διὸ καὶ ἡμῖν τοῖς τιμῶσι σήμερον τὴν ἁγίαν σου μνήμην, βοήθει, Ὅσιε, διδάσκων καὶ νουθετῶν μένειν ἐν τῇ ὀρθοδόξῳ πίστει καὶ δοξάζειν τὸν Κύριον.

Εἶτα οἱ Κανόνες τῆς Ἑορτῆς καὶ τοῦ Ὁσίου, οὗ ἡ ἀκροστιχίς: Σὲ τὸν τοῦ Χριστοῦ φίλον γνήσιον σέβω. Δ.

Ὠδὴ α΄.

Ἦχος δ΄.

Θαλάσσης τὸ ἐρυθραῖον.

Σὲ ὄντως τὸν τοῦ Κυρίου γνήσιον, πιστὸν θεράποντα, συνελθόντες ὑμνοῦμεν τρανῶς, ὁλοψύχως αἰτοῦντες τὴν σήν, καὶ ἀρωγήν καὶ πρόνοιαν ἐν τοῖς κινδύνοις, ἀξιάγαστε.

Ἐγένου σὴ τῆς ἀγάπης πρότυπον, ἐν πᾶσιν τοῖς ἔργοις σου, ὡς δεδεγμένος πάντας ἀδελφούς, προσιόντας σοι, πάτερ, θερμῶς, καὶ ἐχορήγεις ἄφθονον, Θεοῦ τὴν χάριν, ὦ Εὐμένιε.

Ταπείνωσιν ἀληθῆ δεικνύμενος, πρὸς πάντας, Ὅσιε, ἐξουθενῶν σὺ ὄντως σεαυτόν, ταπεινοῖς συνεπήγου σαφῶς, τὸν τῦφον καὶ τὴν ἔπαρσιν, ὁλοκαρδίως βδελυττόμενος.

Θεοτοκίον.

Ὁ πάντων δημιουργὸς καὶ Κύριος, δικαίοις κρίμασι, σὲ ἐκλεκτὴν ὁρῶν ἐν Ἰσραήλ, ἐξελέξατο νύμφην αὐτοῦ, σὺ γάρ, Ἁγνή, ἐγέννησας τὸν λυτρωτὴν ἡμῶν καὶ Κύριον.

Ὠδὴ γ΄.

Εὐφραίνεται ἐπὶ σοί.

Νεκρούμενος ἀληθῶς πᾶσι τοῦ κόσμου τοῖς τερπνοῖς, ἔφερες θλίψεις πολλάς, Ὅσιε, καὶ τὰ δυσχερῆ, ὦ Εὐμένιε.

Τελείωσιν ἐν κρυπτῷ τῇ ταπεινώσει σου, σοφέ, εὕρηκας, ἔχων ἰσχὺν Κὺριον, τὸν σὲ δυναμοῦντα, Εὐμένιε.

Ὁλόκληρον σεαυτὸν τῷ κραταιοῦντί σε Χριστῷ ἔδωκας, ὅθεν καὶ σὲ ὕψωσε καὶ πιστοῖς φρουρόν ἐχαρίσατο.

Θεοτοκίον.

Ὑμνοῦμέν σε εὐλαβῶς καὶ προσκυνοῦμέν σε, Ἁγνὴ Δέσποινα, σὺ γὰρ ἡμῶν στήριγμα καὶ καταφυγὴ καὶ διάσωσμα.

Εἶτα Συναπτὴ μικρά.

Κάθισμα.

Ἦχος γ΄.

Θείας πίστεως.

Θείῳ ἔρωτι ἀνεπτερώθης, ἀνελθὼν τρανῶς πρὸς θεῖον ὕψος τῇ σῇ ἀσκήσει καὶ πόνοις καὶ δάκρυσι˙ ἐν προσευχῇ καρτερῶν, πάτερ Ὅσιε, τοὺς ἀδελφούς σου ἐστήριζες πάντοτε˙ ὅθεν ἔλαβες πολλὴν ἐκ Χριστοῦ ἀντίληψιν καὶ χάριν ἐμφανῶς, πάτερ, Εὐμένιε.

Δόξα. Καὶ νῦν. τῆς Ἑορτῆς.

Ὠδὴ δ΄.

Ἐπαρθέντα σε ἰδοῦσα.

Χωρισθῆναι τῆς ἀγάπης τοῦ σοῦ Κυρίου, ἐπιποθῶν ἀεὶ μετ᾽ αὐτοῦ σὺ βιοτεύειν, οὐ, Πάτερ, ἠνέσχου ποτέ, διὸ καὶ ἠγάπησας πάντας τοὺς πιστῶς σοὶ προστρέχοντας.

Ῥῶσιν ἔλαβες μεγάλην ἐκ τῆς Παρθένου, εἰς Κουδουμᾶν βαδίζων καὶ τρανῶς ἀπηλλάγης φθόνου μισοκάλλους εὐθύς, κραυγάζων ἐν δάκρυσι˙ δόξα σοῦ τῇ σκέπῃ, Πανύμνητε.

Ἱκανῶς δοκιμασθεὶς ἐν πᾶσιν, ὦ Πάτερ, τὸν σὸν Σταυρὸν ἐβάσταζες ἀεὶ ἀγογγύστως, ἔχων εἰς τὰ ἄνω ψυχήν, κραυγάζων, Εὐμένιε, δίδου μοι βοήθειαν, Κύριε.

Θεοτοκίον.

Σαρκωθεὶς ἐκ σῶν αἱμάτων ὁ Λόγος, Κόρη, ἐν ἑαυτῷ ἐβάστασε ἡμῶν ἁμαρτίας, ἤρθη δὲ ἐν ξύλῳ Σταυροῦ καὶ πάντας διέσωσε, πίστει τοὺς Αὐτὸν μεγαλύνοντας.

Ὠδὴ ε΄.

Σύ, Κύριε μου, φῶς.

Τελείως καταλιπὼν τὰ τοῦ κόσμου ἐπίκηρα, φῶς ἄϋλον

ἐξελέξω, σὲ φωτίζον, ὦ Πάτερ, καὶ ἄγον εἰς οὐράνια.

Ὁ πάντα καθορῶν, σέ ἐπέγνω καὶ ἤγαγεν εἰς τάξιν τῶν μοναζόντων, σοὺς ἀγῶνας δέ, Πάτερ, ὁρῶν σὲ καθηγίασεν.

Ὑμνοῦμέν σε τρανῶς, σὴν αἰτοῦντες βοήθειαν, οἱ κύμασι πεπληγμένοι ἐν πελάγει τοῦ βίου, θειότατε Εὐμένιε.

### Θεοτοκίον.

Φῶς ἄδυτον τρανῶς τὸν κόσμον φωτίζοντα, σὺ ἔτεκες, ὦ Παρθένε, τὸν Χριστὸν καὶ Σωτῆρα, ὅν πίστει μεγαλύνομεν.

### Ὠδὴ στ΄.
### Θύσω σοι.

Ἴθυνας τὴν σὴν ζωὴν πρὸς θέλημα, Ὅσιε, τοῦ σοῦ Κυρίου ἀόκνως καὶ πλουσίαν χάριν ὡς δεδεγμένος, τοῖς αἰτοῦσι τὴν ἀρωγήν σου πᾶσι διένεμες.

Λάμψον μοι τὰς ἀκτῖνας σῆς χάριτος, ἔνδοξε, καὶ φώτισόν μου τὸ σκότος, εἰς πταισμάτων ζόφον βεβυθισμένῳ καὶ βοήθει ἀνάγων ὄντως φῶς πρὸς ἀνέσπερον.

Ὄντως σε καλὸν ποιμένα πάντες γινώσκομεν, τῆς Ἐκκλησίας τὰ μέλη, τὴν αγάπην ὄντως ἐν ταπεινώσει καὶ τὸ πρᾷον καὶ τὸ ἁπλοῦν κατεῖχες, Εὐμένιε.

### Θεοτοκίον.

Νέκρωσον ἡμῶν τὰ πάθη, Ἄχραντε Δέσποινα, σοὶ ἐκ καρδίας βοῶμεν, τὸν δὲ νοῦν ἡμῶν σὺ φωταγωγοῦσα, πρὸς τὰ ἄνω καὶ θεῖα βλέπειν πάντας ἀξίωσον.

### Κοντάκιον.
### Ἦχος β΄. Τὰ ἄνω ζητῶν.

Ἀγάπῃ Χριστοῦ τῷ βίῳ συνεχόμενος καὶ πρὸς τὸν Θεὸν τὰς ὑψώσεις ποιούμενος, τοῦ ἐχθροῦ τὴν ἔφοδον ἀνδρικῶς ἀπεπείσω, Εὐμένιε, καὶ τὴν ὀρθόδοξον πίστιν ἔδειξας, Χριστῷ ὑπακούων καὶ στηρίζων ἡμᾶς.

### Ὁ Οἶκος.

Λόγον αἰνέσεώς μοι παράσχου, ὁ Θεοῦ Θεὸς Λόγος, τοῦ ὑμνῆσαι τρανῶς τὸν Ὅσιον σου Εὐμένιον˙ σὺ γὰρ ὑπάρχεις πηγὴ τῆς σοφίας ἐν ἀῤῥήτῳ, Χριστέ μου, ἀβύσσῳ τῶν οἰκτιρμῶν σου˙ ὡς ἄν κἀγὼ τῆς ψυχῆς μου τὸ σκότος φωτισθῶ καὶ νοὸς ῥύπον τελείως ἀποῤῥίπτων, καθαρὰν καὶ

τὴν γλῶσσάν μου τῇ σῇ χάριτι κτησάμενος, ἐπαρκῶς ὑμνήσω σὸν Ὅσιον, ὅς τὴν σεπτὴν ἡμῶν πίστιν ἔδειξε, Χριστῷ ὑπακούων καὶ στηρίζων ἡμᾶς.

## Συναξάριον

Τῇ κγ΄ τοῦ αὐτοῦ μηνὸς μνήμη τοῦ Ἁγίου Πατρὸς ἡμῶν Εὐμενίου, τοῦ Νέου, τοῦ ἐκ κώμης Ἐθιᾶς τῶν Ἀστερουσίων Ὀρέων τῆς Κρήτης καὶ ἐν τῷ Νοσοκομείῳ Λοιμωδῶν Ἀθηνῶν ζήσαντος.

Στίχοι

Τὸν σὸν Ὅσιον Εὐμένιον, Χριστέ μου,

πολλῇ χάριτι ἐλάμπρυνας ἐν βίῳ.

Εἰκάδι τῇ τριτάτῃ Εὐμένιος πρὸς πόλον ἤρθη.

Τῇ αὐτῇ ἡμέρᾳ Μνήμη τοῦ Ὁσίου Πατρός ἡμῶν Μιχαὴλ τοῦ Ὁμολογητοῦ, Ἐπισκόπου Συννάδων˙

Στίχοι

Τῷ κυμματώδει μικρὸν ἐμπρέψας βίῳ,

λύῃ Μιχαὴλ, οἷα κούφη πομφόλυξ.

Εἰκάδι ἐν τριτάτῃ Μιχαὴλ ἀνέδραμεν ἐκ γῆς.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς Ἁγίας μυροφόρου Μαρίας τοῦ Κλωπᾶ, ἐν εἰρήνῃ τελειωθείσης.

Ὁ Ἅγιος μάρτυς Σαλωνᾶς ὁ Ῥωμαῖος, ξίφει τελειοῦται.

Ὁ Ἅγιος μάρτυς Σέλευκος πριονισθείς, τελειοῦται.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

## Ὠδὴ ζ΄.

Ἐν τῇ καμίνῳ.

Γενοῦ μοι, Πάτερ, σὺ προστασία ὄντως καὶ βοηθός, πάντας γὰρ στηρίζεις μᾶλλον τοὺς σοὶ πολλῇ προθυμίᾳ καταφεύγοντας˙ Εὐλογητός βοῶν ὁ Θεός μου ὁ μέγας καὶ Κύριος. ρύκων.

Νέμεις ἀφθόνως σὴν τρανὴν σκέπην καὶ ἀντίληψιν, πᾶσι προσιοῦσι χάριτί σου πιστῶς, εἰσακούων τὰ αἰτήματα καί εὐλογίας σου αὐτοῖς διδοὺς προθύμως, Εὐμένιε.

Ἤκουσαν πάντες τὰ μεγαλεῖα, Πάτερ, ὄντως σῆς δόξης, διό Σε τιμῶσιν ἐκ ψυχῆς καὶ αἰτοῦσι προστασίαν σου, οἷσπερ ἀρήγεις νῦν, εἰσακούων αὐτῶν τῶν δεή-

σεων.

Θεοτοκίον.

Σύ, Θεοτόκε, ἡγιασμένη Μήτηρ ὤφθης Κυρίου˙ ὅθεν τῇ σῇ σκέπῃ πάντες ἁμαρτωλοὶ καταφεύγομεν κραυγάζοντες˙ Εὐλογημένη εἶ, ἡ ἀνθρώπων τὸ γένος λυτρώσασα.

Ὠδὴ η΄.

Χεῖρας ἐκπετάσας.

Ἵνα ἐνισχύσῃς τοὺς πρὸς σὲ ἰόντας, Ὅσιε, ἐλάλεις ῥήματα˙ ψυχάς δέ πίστει ἐῤῥώννυες τὸν ἀγῶνα ἀγωνίζεσθαι τῶν ἀρετῶν ὑπογραμμὸς τούτοις γεγόμενος, ἐνθαῤῥύνων πάντας ποιεῖν τοῦ Κυρίου τὸ θέλημα.

Ὅλην σου τήν ἔφεσιν τρανῶς εἰς ἄνω, Ὅσιε, προθύμως ἔστρεψας˙ τὴν γῆν δὲ κάτω ἀφέμενος, ἀρεταῖς ὄντως διέλαμψας ὡς τοῦ Κυρίου μαθητής, Πάτερ, γενόμενος, καὶ ἀνθρώπους πάντας διδάσκων ἀξίως, Εὐμένιε.

Νέμοις εὐλογίας σου, σοφέ, ἱκέταις πάντοτε τοῖς σοῖς, Εὐμένιε˙ Θεοῦ δὲ χάριν τὴν ἄφθονον τούτοις πᾶσι παρεχόμενος ταῖς εὐπροσδέκτοις σου εὐχαῖς, μέλπειν ἀξίωσον˙ εὐλογοῦμεν πάντες ἐκ πόθου καρδίας τὸν Κύριον.

Θεοτοκίον.

Σῶσον ἐκ κινδύνων καὶ δεινῶν σοὺς δούλους, Δέσποινα, ἐν φόβῳ κράζομεν˙ πυρὸς γεέννης δὲ λύτρωσαι σωτηρίαν τε παρέχουσα, καταξιοῦσα μέλπειν σοι πόθῳ καὶ λέγειν σοι˙ εὐλογοῦμεν πάντες σοὶ δοῦλοι, Παρθένε, τὸν τόκον σου.

Ὠδὴ θ΄.

Λίθος ἀχειρότμητος.

Ἔθου πρὸς Θεὸν σὰς ἐλπίδας ἐν πίστει, Πάτερ, καὶ ἀγάπῃ, καὶ οὐ κατῃσχύνθης οὐδόλως˙ Χριστὸν γὰρ εἶχες σοῦ βοηθὸν καὶ ῥύστην˙ διό σε ἱκετεύομεν, μνήσθητι πάντων, ὦ Εὐμένιε.

Βῆμα τὸ φρικτὸν τοῦ Σωτῆρος σὺ φθάσας, Ὅσιε, ἀφόβως, καὶ γὰρ σὺ τελείως ἠγάπας Χριστὸν ψυχῇ, καρδίᾳ καὶ διανοίᾳ˙ διὸ νῦν ἀγαλλόμενος ἀεὶ τῶν τέκνων σου μνημόνευε.

Ὤφθης ἀρετῆς κανών, Πάτερ˙ ἥν ἐν κρυπτῷ ὄντως εἰργάζου, δι᾽ ὅλου τοῦ βίου σου ἔχων Χριστοῦ τὸν τύπον ἀεὶ ἐνώπιόν σου˙ διό σε νῦν δοξάζομεν τούτου τὸν φίλον, ὦ Εὐμένιε.

### Θεοτοκίον.

Δίδου τοῖς σοῖς δούλοις, Παρθένε, τὴν σὴν βοήθειαν πλουσίαν, καὶ ὄντως ἀξίωσον τούτους Χριστὸν ποθῆσαι τὸν σὸν Υἱὸν γνησίως˙ σὲ γὰρ ἐπικαλούμενοι ἄῤῥητον ἔλεος λαμβάνομεν.

### Ἐξαποστειλάριον.
### Τοῖς μαθηταῖς συνέλθωμεν.

Ταπείνωσιν ἐπλούτησας ἀγάπην τε γνησίαν, ἔσχες δὲ καὶ ἁπλότητα, πρᾶος ἀεὶ ὑπάρχων, Εὐμένιε θεοφόρε˙ ὅθεν σε νῦν τιμῶμεν οἱ ταπεινοὶ ἱκέται σου, σὴν αἰτοῦντες πρεσβείαν θεοπειθῆ, πρὸς Χριστὸν σὸν ἔρωτα καὶ τὸ σθένος˙ τοῦ δοῦναι πᾶσιν ἄφεσιν καὶ εἰρήνην καὶ χάριν.

### Ἕτερον.
### Ὁ οὐρανὸν τοῖς ἄστροις.

Ἐν οὐρανοῖς ὑπάρχων, μνημόνευε σῶν ἱκετῶν, πρὸς τὸν Θεὸν ἀναφέρων ἡμῶν εὐχὰς καὶ δεήσεις, Εὐμένιε θεοφόρε, τῶν σὲ ἐν πίστει τιμώντων.

### Καὶ τῆς Ἑορτῆς.

### Εἰς τοὺς Αἴνους.

Ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

### Ἦχος α΄.
### Πανεύφημοι μάρτυρες.

Εὐμένιε, πάτερ τόν χορὸν μοναστῶν ἐλάμπρυνας τῇ βιοτῇ σου καὶ θαύμασι˙ πρὸς σὲ γὰρ ἤρχοντο τῶν νοσούντων πλήθη καὶ οἱ βαρυνομένοι ποικίλοις πειρασμοῖς τε καὶ θλίψεσι˙καὶ γὰρ ἐλάμβανον εὐλογίαν σου καὶ ἴασιν καὶ τὴν χάριν ἥν Θεός σοι ἔδωκε.

Ἐν νόσοις ποικίλαις καὶ πολλαῖς διελθὼν τὸν βίον σου, πρὸς οὐρανόν ἐνητένιζες, διὸ ἐλάμβανες πολλὴν θείαν χάριν καὶ πηγὴ ἰάσεων ἐγένου τοῖς νοσοῦσιν, ἀοίδιμε˙ Χριστὸν ἑλόμενος βοηθὸν καὶ ἀντιλήπτορα ἐν τῷ βίῳ, ἱερὲ Εὐμένιε.

Ἐν γῇ παροικῶν καὶ πειρασμοὺς ἐνεγκών, Εὐμένιε, πολλοὺς βαρεῖς τε ὑπέμενες˙ διὸ καὶ ἔλαβες τῶν θαυμάτων χάριν, ἥν Χριστὸς δοὶ δέδωκεν, αὐτοῦ πιστῷ σοι ὄντι θεράποντι˙ αὐτῷ οὖν πρέσβευε ἰαθῆναι τὰς ψυχὰς ἡμῶν τῶν τιμώντων ἐκ πόθου τὴν μνήμην σου.

Πανεύφημε Πάτερ καὶ σεπτέ, σὲ πιστῶς δοξάζομεν, τὸν ἐν ἐσχάτοις τοῖς ἔτεσι τρανῶς ἐκλάμψαντα, ὥσπερ ἄστρον μέγα καὶ πιστοὺς φωτίσαντα καὶ ἄνθος ἐρημίας τῶν πόλεων˙ διὸ ἐν ὕμνοις σε καὶ ᾠδαῖς καθικετεύομεν, σὲ προστάτην πλουτοῦντες, Εὐμένιε.

Δόξα.
Ἦχος πλ. α΄.

Ἀγάλλεται σήμερον σκιρτῶσα ἡ νῆσος τῆς Κρήτης, ἐξαιρέτως δὲ εὐφραίνονται αἱ μοναὶ Ἁγίου Νικήτα καὶ Κουδουμᾶ κατέχουσαι ἐν κόλποις τὸ εὐῶδες καὶ ὡραῖον καὶ νεοθαλές τῶν Ἀστερουσίων ἄνθος, τὸν ἐν ὁσίοις λαπρότατον ἀστέρα Εὐμένιον τὸν νέον˙ οὗτος γὰρ τῇ ἑαυτοῦ βιοτῇ τὸν Θεὸν τρανῶς ἐδόξασεν, ἀγαπῶν τὸν πλησίον ὡς ἑαυτὸν καὶ βοηθῶν ἀεί τοὺτῳ˙ διὸ καὶ ἡμεῖς σήμερον οἱ ἐν Κρήτῃ πάντες, ἀλλὰ καὶ οἱ ἐξ Ἑλλάδος καὶ οἱ τὴν οἰκουμένην οἰκοῦντες ἅπαντες ὀρθόδοξοι τιμῶμεν αὐτόν ἐπαξίως, αἰτούμενοι τὴν αὐτοῦ χάριν καὶ πρεσβείαν, ἥν ἐν παῤῥησίᾳ ἔχει πρός Κύριον.

Καὶ νῦν. Τῆς Ἑορτῆς.

Δοξολογία μεγάλη καὶ ἀπόλυσις.

## ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ τυπικά, οἱ Μακαρισμοί καὶ ἐκ τοῦ Κανόνος τοῦ Ὁσίου ἡ γ΄ καὶ στ΄ ᾠδὴ. Ἀπόστολον δέ καὶ Εὐαγγέλιον ζήτει τῇ ε' τοῦ μηνός Δεκεμβρίου.

Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον.

Μεγαλυνάριον.

Χάριν κεκτημένος, Πάτερ, πολλήν, ἥν Χριστὸς ἀφθόνως ἐχορήγει σοι ὡς πιστῷ αὐτοῦ ὑπηρέτῃ καὶ ἱερεῖ ἀξίῳ, βοήθει σοῖς ἱκέταις, θεῖε Εὐμένιε.

Δίστιχα:

Ὕμνους, ὦ Εὐμένιε Ὅσιε, δέχου, οὓς σοι ἀχρεῖος Δημήτριος προσάγει.

Μνήσθητι, θεῖε Εὐμένιε, ἐν πρώτοις τοῦ Ἀρχιθύτου Γορτύνης Μακαρίου, οὗ τῇ προνοίᾳ, ἀγάπῃ καὶ φροντίδι σοὶ συνετέθη τῆς μνήμης ὑμνῳδία. βκβ΄.

## ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΕΥΜΕΝΙΟΝ ΤΟΝ ΝΕΟΝ

Εὐλογήσαντος τοῦ Ἱερέως, τὸ Κύριε εἰσάκουσον, μεθ᾽ ὅ τὸ Θεὸς Κύριος ὡς συνήθως καὶ τὸ ἑξῆς:

Ἦχος δ΄.
Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ἀπὸ παιδὸς ἀφιερώθης, ὦ Πάτερ, τῷ σῷ Κυρίῳ καὶ Θεῷ ὁλοψύχως, καὶ μοναστῶν τὸν βίον εἵλου ἀκλινῶς˙ νόσοις καὶ παθήμασι βίον ὅλον διῆλθες, ἔχων τὰς ἐλπίδας σου πρὸς τὸν Κύριον πάσας˙ σὴν προστασίαν πάρεχε ἡμῖν τοῖς σὲ τιμῶσι, θεόφρον Εὐμένιε.

Δόξα. Τὸ αὐτό.

Καὶ νῦν. Θεοτοκίον.

Οὐ σιωπήσομεν ποτέ, Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι. Εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ· σοὺς γὰρ δούλους σῴζεις ἀεὶ ἐκ παντοίων δεινῶν.

Ὁ Ν΄ Ψαλμός.

Καὶ ὁ Κανὼν τοῦ Ὁσίου, οὗ ἡ ἀκροστιχίς:

Δίδου καὶ ἡμῖν σὴν ἀρωγὴν πλουσίαν. Ἀμήν.

Ἦχος πλ. δ΄.
Ὠδὴ α΄.
Ὑγρὰν διοδεύσας.

Δεινῶς ταραττόμενοι ἐν κακοῖς καὶ ἐν τρικυμίαις πολυτρόπων δυσχερειῶν, τὴν σὴν προστασίαν ἐξαιτοῦμεν οἱ σοὶ ἱκέται, θεόφρον Εὐμένιε.

Ἰάτρευσον, Πάτερ, νόσους ἡμῶν, τῶν ἐν εὐλαβείᾳ προστρεχόντων εἰς σὲ θερμῶς˙ καὶ δίδου ψυχῆς τὴν εὐρωστίαν τοῖς σὲ τιμῶσιν ἀεὶ καὶ δοξάζουσι.

Διάλυσον, Ὅσιε, ἐμφανῶς ἐχθροῦ τὰς παγίδας, ἅσπερ ἔστησε καθ᾽ ἡμῶν˙ καὶ φύλαττε πάντας τῇ σῇ σκέπῃ, τοὺς σὲ ἐκ πόθου τιμῶντας, Εὐμένιε.

Θεοτοκίον.

Ὁδὸν μετανοίας δεῖξον ἡμῖν, τοῖς σὲ ἀνυμνοῦσι καὶ τιμῶ-

σι, Κόρη, πιστῶς καὶ ἐν ἁμαρτίαις πεπτωκόσι, ὡς τοῦ Θεοῦ μήτηρ οὖσα, Πανάμωμε.

## ᾨδὴ γ΄.
## Οὐρανίας ἁψῖδος.

Ὑμνῳδίαις σε, Πάτερ, νῦν σε τιμᾷ ἅπασα τῶν πιστῶν ὁμήγυρις θείαις καθικετεύουσα ἐκ συμφορῶν καὶ δεινῶν, ὅπως ῥυσθῇ σαῖς πρεσβείαις, ἔχουσά σε στήριγμα, θεῖε Εὐμένιε.

Κακουχίας παντοίας καὶ συμφοράς, Ὅσιε, ἀπὸ τῶν σῶν τέκνων μακρύνας, πάντας ἐνίσχυσον τοῦ βηματίζειν ὀρθῶς εἰς τὰς πρός ἄνω πορείας καὶ ποιεῖν ἑκάστοτε Θεοῦ τὸ θέλημα.

Ἀρετῶν σε εἰδότες, Πάτερ σοφέ, σκήνωμα καὶ τῆς ταπεινώσεως ὕψος, σὲ ἱκετεύομεν, βοήθει πᾶσιν ἡμῖν, τοῖς τρικυμίαις τοῦ βίου ποντουμένοις ἄπαυστα καὶ κινδυνεύουσι.

## Θεοτοκίον.

Ἱκετεύομεν πάντες σὲ ἐκτενῶς, Δέσποινα, ὡς Θεοῦ μητέρα βοήθει πάσχουσι δούλοις σου˙ καὶ ἐν τῇ σκέπῃ σῇ τούτους ἀεὶ περιφρούρει ἐκ κινδύνων πάντοτε καὶ περιστάσεων.

Διάσωσον ταῖς σαῖς πρεσβείαις, Εὐμένιε θεοφόρε, ἀπὸ πάσης ἐπιβουλῆς καὶ στενώσεως τοὺς σοὶ πιστῶς προσφυγόντας καὶ σὲ τιμῶντας.

Ἐπίβλεψον ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Αἴτησις καὶ τὸ Κάθισμα.

## Ἦχος β΄. Πρεσβεία θερμή.

Πρεσβεύων θερμῶς, ὦ Πάτερ, πρὸς τὸν Κύριον, μὴ παύσῃ ποτέ, ὑπὲρ πάντων τῶν τέκνων σου˙ σὲ γὰρ εἶχον προστάτην ὁδηγόν τε πάντοτε ἄριστον˙ ὅθεν καὶ νῦν βοήθησον αὐτοῖς, Εὐμένιε θεῖε, καὶ προστάτευσον.

## ᾨδὴ δ΄.
## Εἰσακήκοα, Κύριε.

Ἠκολούθει σοι πάντοτε τῶν πιστῶν ὁμήγυρις ὑπακούουσα τοῖς σοῖς λόγοις καὶ διδάγμασι, βοηθόν σε, Ὅσιε, γνωρίζουσα.

Μεγαλύνομεν ἅπαντες τοῦ Θεοῦ τὴν χάριν, ἥν σὺ ἐκέκτησο καὶ παρεῖχες τὰ ἰάματα τοῖς πι-

στῶς αἰτοῦσί σε, Εὐμένιε.

Ἱκανῶς περιέσκεπες τοὺς προσερχομένους σοι, ὦ Εὐμένιε, καὶ ζητοῦντας τὰς δεήσεις σου πρὸς Θεόν, ὦ πάτερ, ἐν ταῖς θλίψεσι.

### Θεοτοκίον.

Νέμοις πᾶσι τὸ ἔλεος καὶ τὴν εὐσπλαγχνίαν σου, Μητροπάρθενε, τοῖς προστρέχουσι τῇ σκέπῃ σου καὶ τοῖς οἰκτιρμοῖς σου, Κόρη Ἄχραντε.

### ᾨδὴ ε΄.
### Φώτισον ἡμᾶς.

Σύντριψον ἐχθροῦ τὰς παγίδας καὶ τὰ σκάνδαλα ταῖς σαῖς δεήσεσι, Πάτερ, πρὸς Θεόν, ἐκπληρῶν καὶ ἡμῶν πάντα αἰτήματα.

Ἤκουσας Χριστοῦ τῆς φωνῆς, πάτερ Εὐμένιε, καὶ προσελθὼν αὐτῷ πολλῇ ἐν σπουδῇ κατηξιώθης καὶ χαρίτων ὡς ἰσάγγελος.

Νεύρωσον ἡμῶν τὴν ψυχὴν καὶ τὴν διάνοιαν εἰς τὴν ἐκπλήρωσιν Θεοῦ ἐντολῶν ταῖς ἱκεσίαις ταῖς σαῖς, πάτερ Εὐμένιε.

### Θεοτοκίον.

Ἄκουσον ἡμῶν τάς φωνάς τῶν δεομένων σου, τὴν σὴν βοήθειαν διδοῦσα ἡμῖν, τοῖς ταλαιπώροις σου δούλοις, Ἄχραντε Δέσποινα.

### ᾨδὴ στ΄.
### Τὴν δέησιν ἐκχεῶ.

Ῥημάτων ἐξαπορῶν, ὦ Ὅσιε, πρὸς ἀνύμνησιν τὴν σήν, σύ μοι δίδου˙ ὅτι πολλοῖς ἐν δεινοῖς περιῆλθον καὶ κινδυνεύω τῇ ζάλῃ τῶν θλίψεων˙ διό σοι κράζω ἐκ ψυχῆς˙ σὺ βοήθει κἀμοί, ὦ Εὐμένιε.

Ὤφθης ἐν Λειτουργίᾳ, Ὅσιε, ἐν ἀέρι βεβηκὼς καὶ γὰρ ἄνω τὴν σὴν καρδίαν ἐκράτεις, θεόφρον, ἐμμελετῶν τοῦ Κυρίου τὸ θέλημα˙ διὸ βοήθει καὶ ἡμῖν τὴν σὴν χάριν διδούς, ὦ Εὐμένιε.

Γεώργιον σὺ Θεοῦ ἀνεδείχθης καὶ παρήγαγες καρποὺς θεοσδότους˙ καὶ γὰρ σαυτόν ἀπηρνήσω ἐμφρόνως καὶ ὅλος ὅλου Χριστοῦ, πάτερ, γέγονας˙ διὸ δυσώπει καὶ ἡμᾶς λυτρωθῆναι δεινῶν, ὦ Εὐμένιε.

### Θεοτοκίον.

Ἡνώθη μετὰ ἀνθρώπων, Πάναγνε, διὰ σοῦ ὁ ὑπερούσιος Λόγος καὶ τὴν φθαρεῖσαν εἰκόνα ἰᾶται καὶ πρὸς ζωήν τοὺς θανόντας ἀνήγαγε˙ ὦ Δέσποινα, καὶ νῦν ἡμῶν τὰς δεήσεις προσδέχου ὡς εὔσπλαγχνος.

Διάσωσον ταῖς σαῖς πρεσβείαις, Εὐμένιε θεοφόρε, ἀπὸ πάσης ἐπιβουλῆς καὶ στενώσεως τοὺς σοὶ πιστῶς προσφυγόντας καὶ σὲ τιμῶντας.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα, δυσώπησον ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

Αἴτησις καὶ τὸ Κοντάκιον.

Ἦχος β΄.
Προστασία τῶν Χριστιανῶν.

Ταπεινώσει τὸν βίον σου πάντα διήνυσας, προσευχὰς καὶ δεήσεις προσάγων πρὸς Κύριον, ὅθεν ἔλαβες καὶ πολλὰς χαρίτων δωρεάς˙ διὸ κάμφθητι, ὡς συμπαθής, εἰς ἱκεσίας τὰς ἡμῶν, τῶν θερμῶς δεομένων σου˙ ἄκουσον τὰς δεήσεις καὶ δράμε εἰς προστασίαν τῶν κραυγαζόντων ἐκ ψυχῆς, ὦ Εὐμένιε, βοήθησον.

Προκείμενον. Ἦχος δ΄.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Εὐαγγέλιον.
Ἐκ τοῦ κατὰ Ματθαῖον,
(κεφ. ια΄ 27-30).

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς˙ πάντα μοι παρεδόθη ὑπὸ τοῦ πατρός μου, καὶ οὐδεὶς ἐπιγινώσκει τὸν Υἱὸν εἰ μὴ ὁ πατήρ, οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει εἰ μὴ ὁ Υἱὸς καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλύψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. Ἄρατε τὸν ζυγόν μου ἐφ᾽ ὑμᾶς καὶ μάθετε ἀπ᾽ ἐμοῦ ὅτι πρᾷός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν· ὁ γὰρ ζυγός μου χρηστὸς καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν.

Δόξα.

Ταῖς τοῦ σοῦ Ὁσίου πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν.

Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον...

Προσόμοιον.
Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.

Στίχος. Ἐλεῆμον, ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ὅλος ἐκ νεότητος ἀφιερώθης Κυρίῳ καὶ σαυτὸν πρὸς σκάμματα καὶ ἀγῶνας, Ὅσιε, σὺ ἐπέῤῥιψας˙ καὶ μονὴν ᾤκησας, ἀθλητοῦ Νικήτα μοναστῶν ποθῶν τὴν ἄσκησιν˙ λεπροῖς δέ, Ἅγιε, πάσῃ προθυμίᾳ συνέδραμες˙ πιστοῖς τε διηκόνεις σὺ καὶ ὡς ἱερεὺς τοῦ Κυρίου σου˙ ὅθεν νῦν σε πάντες τιμῶμεν καὶ γεραίρομεν τρανῶς, τὴν σὴν πρεσβείαν αἰτούμενοι πρὸς Θεόν, Εὐμένιε.

Σῶσον, ὁ Θεός, τὸν λαόν Σου...

Ὠδὴ ζ΄.
Οἱ ἐκ τῆς Ἰουδαίας.

Ναὸς ὤφθης, ὦ Πάτερ, καθαρὸς καὶ λαμπρὸς τοῦ Ἁγίου Πνεύματος˙ διὸ καὶ ἐχορήγεις τοῖς πόθῳ σε ζητοῦσι τὰ αἰτήματα πάντοτε˙ καὶ νῦν βοήθει ἡμῖν, Εὐμένιε θεόφρον.

Παρεστὼς τῇ Τριάδι τῇ Ἁγίᾳ, παμμάκαρ, ἡμᾶς ἐπίσκεψαι, τοὺς πόθῳ σὲ τιμῶντας καὶ ὕμνοις ἀνυμνοῦντας καὶ κινδύνων ἀπάλλαξον˙ σὺ γὰρ ὑπάρχεις ἡμῶν, Εὐμένιε, προστάτης.

Λογισμοὺς ἐθεώρεις τῶν πρὸς σὲ ἐρχομένων, οὓς καὶ ἐστήριζες, ἐν πίστει καὶ ἀγάπῃ καὶ ἔργοις θεαρέστοις καὶ Κυρίῳ προσήγαγες˙ καὶ τὰς Θεοῦ ἐντολὰς ἐδίδασκες φυλάττειν.

Θεοτοκίον.

Ὁλοψύχως βοῶμεν τῇ μητρὶ τοῦ Κυρίου πᾶσι βοήθησον τοῖς δούλοις σου, Παρθένε, τοῖς πόθῳ σοι βοῶσιν ἐν κινδύνοις καὶ θλίψεσιν˙ ἐκ τῶν πολλῶν συμφορῶν ἀπάλλαξον σὴν ποίμνην.

Ὠδὴ η΄.
Τὸν Βασιλέα.

Ὕμνους ὑφαίνει τοῦ σὲ ὑμνεῖν ἐπαξίως, καταξίωσον, Πάτερ, ἱκέτας, τοὺς ἐκ καρδίας, Εὐμένιε, τιμῶντας.

Σῴζοις, θεόφρον, ἐκ πειρασμῶν καὶ κινδύνων τοὺς προσφεύγοντας πόθῳ σῇ σκέπῃ˙ μονὴν Κουδουμᾶ δὲ ἐνίσχυε εὐχαῖς σου.

Ἴασαι πάντας τοὺς ἐπὶ σὲ προσιόντας καὶ τῶν νόσων ἀπάλλαξον τούτους˙ ἔχεις γὰρ τὴν χάριν ἰᾶσθαι τοὺς νοσοῦντας.

Θεοτοκίον.

Ἄκουσον, Κόρη, τοὺς στεναγμοὺς τῆς ψυχῆς μου καὶ παθῶν με ἐκλύτρωσαι τάχος, καὶ πρὸς μετανοίας τὰς τρίβους ἴθυνόν με.

Ὠδὴ θ΄.

Κυρίως Θεοτόκον.

Νοός μου τὰς κινήσεις ἴθυνον, ὦ Πάτερ, εἰς τὸ ποιεῖν τοῦ Κυρίου τὸ θέλημα καὶ ἁμαρτίας τὰς τρίβους ἀποβδελύττεσθαι.

Ἀνάγαγε, ὦ Πάτερ, βυθοῦ ἁμαρτίας καὶ ἀπωλείας με σκότους ἐξάρπασον, εἰς σωτηρίας ὁδούς τε κἀμέ εἰσάγαγε.

Μετὰ πάντων Ὁσίων ἀεὶ συναυλίζῃ καὶ φωτισμοῦ τοῦ ἀκτίστου πεπλήρωσαι˙ διὸ ἡμᾶς φωταγωγεῖ, θεῖε Εὐμένιε.

Ἡμῶν τῶν ἱκετῶν σου μνήσθητι, ὦ Πάτερ, καταυγαζόμενος αἴγλῃ θεότητος, καὶ σὴν βοήθειαν δίδου, σοφέ Εὐμένιε.

Θεοτοκίον.

Ναὸς τῆς Ὑπερφώτου Τριάδος δεδειγμένη, τὸν σὸν Υἱὸν ἐκδυσώπει, Πανάχραντε, ἡμᾶς φωτίσαι καὶ σῶσαι τοὺς σὲ γεραίροντας.

Ἄξιόν ἐστι ὡς ἀληθῶς μακαρίζειν σὲ τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ Παναμώμητον καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν˙ τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ˙ τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον σὲ μεγαλύνομεν.

Μεγαλυνάρια.

Χαίροις τοῦ Κυρίου φίλε πιστέ, ὁ ἐν τοῖς Ὁσίοις διαλάμψας ὥσπερ φωστήρ˙ ἐν πόλει γὰς ζήσας ἐν μέσῳ τῶν θορύβων, ἀνέβης εἰς τὰ ἄνω πτεροῖς ἀσκήσεως.

Πάντες εὐφημοῦμέν σε εὐλαβῶς τὸν ἐν τοῖς ἐσχάτοις ἀναλάμψαντα ἐμφανῶς˙ χάριν γὰρ ἐκτήσω, ἀμέμπτως βιοτεύων, καὶ στέφος τῶν Ὁσίων, θεῖε Εὐμένιε.

Πάθη ἐθεράπευες τῶν πιστῶν ψυχῶν καὶ σωμάτων τῇ σῇ χάριτι, ἣν Χριστός ἀφθόνως ἐδίδου αὐτοῦ πιστῷ ἱκέτῃ, Εὐμένιε θεό-

φρον, Κρήτης ἀγλάϊσμα.

Φύλαττε καὶ σκέπε τοὺς εὐλαβῶς πρὸς σὲ ἐρχομένους εἰς τὸν τάφον, Πάτερ, τὸν σόν, ἐν Ἀστερουσίοις καὶ χάριν ἀπαντλοῦντας, Εὐμένιε παμμάκαρ, Ὁσίων καύχημα.

Χαίρων ἀνελήλυθας ἐν ζωῇ κλίμακα, ὦ Πάτερ, σὺ ἐμπόνως τῶν ἀρετῶν˙ θείας ἀναβάσεις θέμενος ἐν καρδίᾳ καὶ χάριτος δοχεῖον ὤφθης, Εὐμένιε.

Ἅπαντες τιμήσωμεν ἐκ ψυχῆς νέον ἐν Ὁσίοις τὸν δοξάσαντα τὸν Χριστόν˙ πᾶσι βοηθοῦντα τοῖς ἐπικαλουμένοις αὐτοῦ τὴν θείαν σκέπην, θεῖον Εὐμένιον.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι πάντες, μετὰ τῆς Θεοτόκου ποιήσατε πρεσβείαν εἰς τὸ σωθῆναι ἡμᾶς.

Τὸ Τρισάγιον, τὰ συνήθη Τροπάρια, Ἐκτενὴς καὶ Ἀπόλυσις, μεθ᾽ ἥν τὸ ἑξῆς:

Ἦχος β

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Ὄντως σὺ ἐφάνης ἀληθὴς φίλος τοῦ Κυρίου σου, Πάτερ, καὶ μοναστῶν τὸν ζυγὸν αἴρων ἐπὶ ὤμων σου αὐτῷ συνέπασχες˙ καὶ ἀγάπῃ ἐβάσταζες τὰ βάρη, θεόφρον, πάντων τῶν αἰτούντων σου τὴν σὴν ἀντίληψιν˙ ὅθεν καὶ ἡμᾶς καθοδήγει τρίβους τῆς ζωῆς βηματίζειν ταῖς σαῖς ἱκεσίαις, ὦ Εὐμένιε.

Δέσποινα, πρόσδεξαι τὰς δεήσεις τῶν δούλων σου καὶ λύτρωσαι ἡμᾶς ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Ἐκτενὴς καὶ Ἀπόλυσις, μεθ᾽ ἣν ψάλλομεν τὸ ἑξῆς·

Δίστιχον

Δημητρίου δεήσιν μὴ ὑπερίδῃς,
Εὐμένιε Ὅσιε, καὶ τοῦτον σκέπε.
βκβ΄.



*Τάφος τοῦ Ἁγίου Εὐμενίου, τοῦ Νέου, στήν Ἐθιά, 22/5/2022.*

ΙΕΡΑ ΜΗΤΡΟΠΟΛΙΣ
ΟΙΚΟΥΜΕΝΙΚΟΝ ΠΑΤΡΙΑΡΧΕΙΟΝ
ΓΟΡΤΥΝΗΣ ΚΑΙ ΑΡΚΑΔΙΑΣ